# Anhang.

## I.

# Fragment eines griechischen Lexikons

aus dem Codex Monacensis graecus 263, f. 416*r*—420*v*.

## Vorrede.

In dem Miszellankodex 263 der Münchener Staatsbibliothek ist ein kurzes Lexikon enthalten, das von Hardt (Catalogus codicum manuscriptorum Bibliothecae Regiae Bavaricae. Tom. III, 1806, S. 106) folgendermaßen beschrieben wird:

Bombycinus, charta laevigatissima, titulis et initialibus rubrice notatis, charactere minuto et nitidissimo . . . constans foliis 452, saec. 13, sat bene conservatus et inscriptus.

Das Fragment (die Sammlung schließt im Buchstaben *μ*) ist von einer[1]) Hand geschrieben und umfaßt fünf Blätter (14 × 21 cm), die Zeilenzahl beträgt: 21, 29, 30, 29, 30, 30, 32, 25, 31, 30. Das erste Lemma steht ziemlich tief auf der ersten Seite, auf der achten hat der Schreiber mitten im Text eine Lücke von fünf Zeilen gelassen, so daß man von durchschnittlich 30 Zeilen reden kann. Die Handschrift ist im ganzen gut erhalten, nur der innere Rand ist dann und wann durch unvorsichtiges Binden verletzt.

Im einzelnen ist folgendes zu erwähnen: der Spiritus fehlt häufig, oft ist der falsche gesetzt: *ὀδούς, ἀλισκομένων*; bei Diphthongen steht er auf dem ersten Vokal: *ἆιγες, ἀιολεῖς ἀυτὸ, ἐυμεταβολώτερος*, selten auf dem zweiten: *εἰς*. Das nämliche gilt für die Akzente: In der Regel *ἀνάισθητος, ἀνόιγεσθαι, ἐπιπολάιων, ἀκαταπάυστως*.

---

[1]) Anscheinend rührt von einer zweiten Hand das kurze grammatische Fragment auf der ersten Seite und das *καὶ* auf dem rechten Rand her.

Sehr häufig fehlen sie gänzlich, oft sind sie falsch gesetzt: πετομένοι, προτέροι.

Präpositionen wachsen mit dem regierten Nomen zusammen und bedürfen keines Akzents: ἀχρικόρου, διαπαντός, διαδακτυλίου, διανόσον, παραξίαν, παραδόξαν.

Bei einzelnen Komposita empfand der Schreiber die Teile und trennt sie durch den Akzent: μὴ δὲ. Iota subscriptum fehlt, abgesehen von zwei Stellen. Große Sorgfalt fand das ν ἐφελκυστικόν.

Präpositionen, Endungen usw. werden bald ausgeschrieben, bald gekürzt. Bei ἄνθρωπος, θεός, μήτηρ, οὐρανός tritt meist die Abbreviatur ein. Der Text ist durch sorgfältige Interpunktion übersichtlich abgeteilt. Die einzelnen Lemmata sind durch drei Punkte, zwei rote und einen schwarzen getrennt, außerdem ist der erste Buchstabe nachträglich mit roter Farbe nachgezogen: denn manchmal hat das der Schreiber vergessen (vgl. 3, 79, 114, 119, 160), manchmal an falscher Stelle das Rot angebracht (105, 106, 122, 129, 145), Lemma und Erklärung sind durch Doppelpunkt geschieden.

An drei Stellen bezeichnet ein auf den Rand geschriebener Buchstabe (β, ε, μ) das Einsetzen einer neuen Reihe, elfmal finden wir dort παροιμία (vgl. darüber bei Suidas Bernhardy S. LXXVI, bei dem Coislinianus 177 Schneck, Quaestiones paroemiographicae S. 12).

Bei der Gestaltung des Textes bemühte ich mich, der Forderung gerecht zu werden, die Boysen in seiner mustergültigen Ausgabe der „Lexici Segueriani Συναγωγὴ λέξεων χρησίμων inscripti pars prima (A) ex codice Coisliniano 347“ S. III aufstellt

„In adornanda vero editione id maxime curandum est, ne errores quamvis manifestissimos lexicographorum ipsorum, sed ut librariorum tantum neglegentiam corrigamus. Compilatores enim, cum alius ab alio gravissima menda nesci repetere soliti sint, ipsi nobis vestigia indicant viamque monstrant, quam secuti sua comportarunt.“

Besondere Sorgfalt verwandte ich auf die Zusammenstellung und Anordnung der Testimonia. In ihrer Reihenfolge drückt sich die Übereinstimmung mit dem edierten Text insofern aus, als z. B. das an erster Stelle stehende in seiner

Gestaltung sich am engsten mit dem entsprechenden Lemma berührt, das an letzter Stelle am wenigsten.

Das Zeichen = bedeutet wortwörtliche Übereinstimmung — starke Übereinstimmung mit bedeutenden Abweichungen im Wortlaut, „cfr.“ inhaltliche Übereinstimmung.

Im Apparat sagt > Ap.: fehlt bei Ap. (= Apostolis), <Ap.: Ap. hat dies mehr gegenüber dem Münchener Fragment (Mon.). Zum Schluß noch das Verzeichnis der Abkürzungen:

Ald. = Aldina (Vita et fabellae Aesopi etc. Venetiis apud Aldum 1505. Vgl. Crusius, Analecta crit. ad paroemiogr. gr. p. 31.)

Ap. = Apostolis = *Μιχαήλου Ἀποστόλου Βυζαντίου συναγωγὴ παροιμιῶν καὶ συνθήκη κτλ.* C(orpus) P(aroemiogr). gr(aec). Ed. Leutsch et Schneidewin. Tom. II p. 231ff.

Ap.(N) = Codex Parisinus gr. 3072. Vgl. C. P. gr. II p. XII und oben S. 4.

B. = Codex Bodleianus gr. Misc. 217 (36 Meerman. 20614 Madan.); v. Gaisford, Paroemiographi graeci (1836) p. 1ff.

Bachm. = L. Bachmann, Anecdota graeca. Vol. 1. Lipsiae 1828.

B. A. = J. Bekker, Anecdota graeca. Vol. 1. Lexica Segueriana. Berolini 1814.

C. = Codex Coislinianus 177; v. Gaisford a. a. O. p. 121ff.

Et. M. = Etymologicum Magnum. Ed. Frid. Sylburg. Lipsiae 1816.

Et. Gud. = Etymologicum graecae linguae Gudianum. Ed. Frid. Gul. Sturzius. Lipsiae 1818. — Etymologicum Gudianum quod vocatur. Rec. Ed. Al. De Stephani. Fasc. 1 (*A—B*). 2 (*B—Z*). Lips. 1909—20.

G. C. = *Παροιμίαι συλλεγεῖσαι παρὰ . . . Γρηγορίου τοῦ Κυπρίου κτλ.* = C. P. Gr. I p. 349ff.

G. C. L. = Die Sammlung des Gregorius Cyprius in dem Leydener Codex Vossianus gr. $4^0$ 14 (Catalogus librorum Bibl. Publ. Universitatis Lugduno-Batavae, 1716, p. 402); v. C. P. Gr. II p. 53ff.

G. C. M. = Die Sammlung des Gregorius Cyprius in dem Moskauer Codex 283 (vgl. C. Fr. Matthaei, Codicum graec. mss. bibliothecarum Mosquensium Sanct. Synodi notitia, Lipsiae 1805, p. 185); v. C. P. Gr. II p. 93ff.

Hes. = Hesychii lexicon. Ed. Mor. Schmidt. Jenae 1858—68.

Gr. = Codex Scorialensis gr. (Grauxii) Σ—I—20; v. Revue de philologie 2 (1878) p. 219—237, wiederholt in Graux's Oeuvres 2 (Paris 1886) p. 117—138.

L. = Codex Laurentianus gr. Plut. 80, 13, veröffentlicht von H. Jungblut, Rhein. Mus. 38 (1883) p. 394—420.

L². = Codex Laurentianus gr. Plut. 58, 24, veröffentlicht von Cohn, Zu den Paroemiogr. p. 27 ff. Breslauer Philol. Abh. II., 1887.

M. = Miller, Mélanges de littérature grecque p. 341 ff.

Mac. = Macarius, *Μακαρίου ἱερομονάχου κτλ. Ῥοδωνία.* v. C. P. Gr. II p. 135 ff.

P. = Photius, Der Anfang des Lexikons des Photios herausg. von R. Reitzenstein. Leipzig 1907. Photii Lexicon e codice Galeano descripsit R. Porson. Lipsiae 1823.

Pal. 129 = Cod. Pal. gr. 129, v. M. Treu, Philologus 47, p. 193 ff.

Paus. = Pausanias; s. u. Schwabe.

Plut. = Ps.-Plut. = *Πλουτάρχου παροιμίαι αἷς Ἀλεξανδρεῖς ἐχρῶντο* = C. P. Gr. I p. 321 = Miller III.

Ps. D. = *Παροιμίαι δημώδεις ἐκ τῆς Διογενιανοῦ συναγωγῆς*, C. P. Gr. I p. 177 ff.

Ps. D. V. = *Παροιμίαι δημώδεις ἀπὸ τῆς Διογενιανοῦ συναγωγῆς*, C. P. Gr. II p. 1 ff. cfr. Praef. Par. 1.

S. = Suidas ed. Bernhardy. Halle 1853.

S. (676) = Codex Parisinus suppl. gr. 676; cfr. Cohn, Zu den Paroemiographen p. 57 ff.

schol. Ar. = Scholia in Aristophanem ed. Dindorf 1842.

schol. Plat. = Scholia gr. in Platonem (Platonis dialogi ex recognitione C. F. Hermanni vol. VI.)

Schwabe = Aelii Dionysii et Pausaniae Atticistarum fragmenta. Collegit E. Schwabe. Lipsiae 1890.

Zen. = *Ζηνοβίου ἐπιτομὴ ἐκ τῶν Ταρραίου καὶ Διδύμου Παροιμιῶν κτλ.* cfr. C. P. Gr. I p. 1 ff.

Zon. = Lexicon des Zonaras ed. Tittmann. Lipsiae 1807.

1. Ἄβολις πῶλος· ὁ μήπω ἐκβεβληκὼς τοὺς ὀδόντας. καὶ γνώμων ὁ ὀδούς, ἀπὸ τούτου ἡ ἡλικία γνωρίζεται τοῦ ζῴου, τοῦ πώλου τε καὶ μόσχου· τριάκοντα γὰρ μηνῶν γενόμενοι ἐκβάλλουσι τοὺς πρώτους ὀδόντας, εἶτα ἐνιαυτοῦ παρελθόντος τοὺς δευτέρους, καὶ μετ' ἄλλον ἐνιαυτὸν τέλειοί εἰσιν οἱ τεττάρων ἥμισυ ἐτῶν. ἀφ' οὗ †ἀλειπογνώμονες καλοῦνται οἱ μηκέτι διὰ τῶν ὀδόντων γνωσθῆναι δυνάμενοι. γνώμονα δὲ λέγουσι τὸν βαλλόμενον ὀδόντα.

2. Ἀβυδηνῶν ἐπιφόρημα· ἐπὶ τῶν ἀηδῶν εἴωθε τάττεσθαι. ἔθος γὰρ τοῖς Ἀβυδηνοῖς μετὰ τὸ δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας †τῶν τιτθῶν τοῖς εὐωχουμένοις, †κεκραγόντων δὲ τῶν παίδων καὶ θορύβου γενομένου ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν.

3. Ἀγαθῶν θάλασσα· ἐπὶ πολλῶν ἀγαθῶν καὶ μεγάλων λέγεται καὶ Ἀγαθῶν πόντος καὶ Ἀγαθῶν †σορός. ⟨Ἀ⟩γαθῶν μυρμηκιά · ἐπὶ πλήθους εὐδαιμονίας.

4. Ἀγαθώνειος αὔλησις· ἡ μήτε †χαρὰ μήτε πικρά, ἀλλ' εὔκρατος καὶ ἡδίστη, μαλακὴ καὶ ἐκλελυμένη · ἀπὸ †Ἀγάθω αὐλητοῦ · οὗτος ἀγαθὸς ἦν τὸν τρόπον καὶ ποθεινὸς τοῖς φίλοις· ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

5. Ἀγαθοῦ Δαίμονος· ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ

---

**Etwa 5 Zeilen über dem Text steht:** *Τί ἐστι προσῳδία; ποιὰ τάσις ἐγγραμμάτου φωνῆς.* cfr. M. Schmidt. Philol. VIII p. 516ff., anscheinend aus den Erotemata Vindobonensia bzw. einem verwandten Codex. — 2. *ὅτι ἀπὸ Et.M.* — 6. *καὶ λειπογνώμονες Et.M.* — 10. *ἔθος γὰρ Ps.D. ἔθος γὰρ ἦν Ap.* — 11. *τῶν τιτθῶν Ap. μετὰ τῶν τιτθῶν Ps.D.* — 11. *κεκραγότων Ap. Ps D.* — 15. *λέγεται Ep. τάσσεται Ap.* — 16. *εὐδαιμονίας. Ep. εὐδαιμονίας διὰ τὸ κτλ . . . φασὶ δὲ (-Ael.) Ap.* — 17. *χαλαρά Ap. Ep. Ald.* — 18. *μαλακή Ap. Ep. ἢ ἡ μαλακή S.* — 18. *Ἀγάθωνος Ap. Ἀγαθῶν Ep.* — 19. *τὸν τρόπον Ap. Ep.* — 20. *θηλύτητα Ap. θηλύτια Ep.* 21. *τὸ Ap. τὸν Ep.*

---

1. = Et. M. cfr. S., Eust. Od. p. 1627, 18, 1405, 19. Schol. Plat. Legg. 834 C. Et. Gud. s. v. *γνώμων*. Hes. s. v. *ἄβολος*.

2. = Ap. I, 1 = Ps D. I, 1. cfr. G.C.L. I 26 = G.C.M. I 88. Zen. I 1 — M. I 65 = L. IV 52 — Pal. 129 I 31 — B. I 1. Ps.D. V. I 1.

3. = Ep. = Ap. I 5 und I 6. cfr. S., L. III 6 — Gr. 4. L² Va 4—7. Zen. I 9—11, B. 11—12, Ps.D. I 10, Ps.D. V. I 8, G. C. L. I 36 = G. C. M. I 98, Mac. I 5, 8, 10, 13.

4. = Ep. = Ap. I 7 cfr. S. — Zen. I 2 = Ald. — B. 7 — Ps.D. I 7. P. — Hes.

5. = Ep. = Ap. I 10 = S. = Ald. cfr. B. A. p. 209, 14, p. 334, 4., P., Moeris (ed. Bekker) p. 191, schol. Arist. Vesp. v. 525, Eust. p. 1525, 60.

δεῖπνον πίνειν Ἀγαθοῦ Δαίμονος †ἐπιροφοῦντος ἄκρατον· καὶ τοῦτο δὲ τρίτον· καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς οὕτως ἐκάλουν· καὶ ἐν Θήβαις ἦν ἡρῷον Ἀγαθοῦ Δαίμονος.

6. Ἀγέλαστος πέτρα· ἐπὶ τῶν λύπης προξένων.

7. Ἁγνότερος πηδαλίου· ἐπὶ τῶν ἁγνῶς βεβιωκότων.

8. Ἀγορὰ †Κερκόπων· ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἐγένοντο ἐν Ἐφέσῳ, οἳ καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται.

9. †Ἀγραπτότατος βάτος αὖος· ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον.

10. Ἄγριπος· ἀγριελαία· καὶ παροιμία· †Ἀγρίπου ἀκαρπότερος.

11. Ἀγροίκου μὴ καταφρόνει ῥήτορος· ὑποθετική, μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν.

12. Ἀδεὲς δέος δέδοικας· ἐπὶ τῶν μὴ τὰ φοβερὰ φοβουμένων.

13. Ἀδράστεια· νέμεσις· ἐπὶ τῶν †πρώτερον μὲν εὐδαι-

---

1. ἐπιροφοῦντος Ep. ἐπιροφοῦντες Ap. S. — καὶ τοῦτο δὲ τρίτον Ap. Ep. > S. καὶ τοῦτο λέγειν Ἀγαθοῦ Δαίμονος, χωρίζεσθαι δὲ μέλλοντες Διὸς Σωτῆρος S. — 2. ἡμέραν Ap. ἡμέρας Ep. — 3. ἐκάλουν Ap. ἐκέλουν Ep. — 4. ἀγέλαστος Ap. ἀγάλαστος Ep. λύπης Ap. λύπως Ep. προξένων· ἐπ᾽ αὐτῆς γὰρ ἐκάθισεν, ὅτε ἐζήτει τὴν κόρην ἡ Δημήτηρ Ap. Ep. — 5. βεβιωκότων παρόσον κτλ., Ap. Ep. (Ap. βιούντων). — 6. Κερκόπων Ep. Κερκώπων Ap. Ps. D. — 7. οἳ Ap. Ep. οἵ τινες Ps. D. — 9. ἀγραπτότατος Ap. Ep. P. ἀγναπτότατος S. — 10. τὸν τρόπον Ap. τρόπον Ep. — 11. ἄγριπος Ap. Ep. ἄγριππος S. — 13. ὑποθετικὴ μηδέ Ep., ὑποθετική, ὅτι μηδέ Ap S. — 15. τὰ μὴ . . . . φοβουμένων P. S. μάτην δεδιότων Ap. Ps. D. — 16. πρότερον Ap. S.

---

6. = Ep. — Ap. I 12 = Zen. I 7 = Ps. D. I 8 = G. C. L. I 35 = G. C. M. I 97. cfr. P = B. A. p. 337, 6, Hes., B. 8, Ps. D. V. I 7.

7. = Ep. — S. = Ald. = Gr. 6 = S. (676) p. 72 = Ps. D. I 11 = Ps. D.V. I 10 = L. III 8. cfr. Ap. I 13., G. C. L. I 37 = G. C. M. I 99.

8. = Ep. = Ap. I 18 (erweitert) = Ald. (erweitert) = Gr. 7 (erweitert) = Ps. D. I 3 (erweitert) — Ps D. V. I 3, B. 3, Zen. I 5, S., G. C. I 3 = G. C. M. I 3, Mac. I 4, L. III 2, P.

9. = Ep. = Ap. I 21 = P. — S. = Gr. 5 (erweitert) = Ald. (erweitert), Z. I 16 — B. 17, Mac. I 23, Ps. D. I 13.

10. = Ep. = S — Ap. I 23 (vgl. o. S. 113) = Ald. Zen. I 60 — B 193, Ps. D.V. I 71., Ps. D. II 63, M. p. 378, L. III 43.

11. = Ep. = Ap. I 24 = S. — Ps. D. I 12 — Zen. I 15 = Ald., B 16 = G. C. L. I 3, Ps. D. V. I 11. Zon., G. C. I 6 = L² Va 8 (vgl. o. S. 114).

12. = Gr. 12 (erweitert) = Ald. (erweitert) — P., S., Ps. D. V. I 13, B 20 = G. C. L. I 29 = G. C. M. I 91. Ps. D. I 16 — Ap. I 30. Mac. I 27. L. III 13. schol. Plat. Conv. 198 A.

13. = Ap. I 31 N = S (erweitert) cfr. Zen. I 30, B. 33, Mac. I 28, Ps. D. I 54, P., Hes. cfr. Schwabe p. 92.

μονησάντων, ὕστερον δὲ δυστυχησάντων· τῶν Ἀπογόνων Θηβαίοις ἐπιστρατευσάντων μόνος Αἰγιαλεὺς ἀπώλετο, Ἀδράστου παῖς.

14. Ἀδώνειος κῆπος· ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων.

15. Ἀεὶ γὰρ †ἐμπίπτουσιν οἱ Διὸς κύβοι· ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων· οἱ δὲ ἐπὶ τῶν †ὀξέως τιμωρουμένων.

16. Ἀετὸν ἵπτασθαι διδάσκεις· ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινάς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

17. Αἵματι κλαίειν· ἀφ᾽ ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες οὕτως ἔλεγον οἱ παλαιοί· Οὐδ᾽ ἂν †πείσῃ αὐτὸν οὐδ᾽ αἵματι κλαίων. λέγουσι δὲ καί· Οὐδ᾽ ἂν αἵματι στένων †πείσῃ.

18. Αἴρειν ἔξω πόδα πηλοῦ· παροιμία ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καί· Αἴρειν ἔξω πόδα αἰτίας.

19. Αἱροῦντες ᾐρήμεθα· ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν καὶ ὑπ᾽ ἐκείνων ἁλόντων.

20. Αἰσώπειον αἷμα· ἐπὶ ἀδίκως ἀναιρουμένων· οὐ γὰρ ἐνδίκως †ἐκτείναντο Αἴσωπον οἱ †ἀδελφοί.

---

3. *χρῶνται δὲ αὐτῷ παροιμιωδῶς ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων P., χρῶνται δὲ ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων τῇ παροιμίᾳ S.* — 4. *εὖ πίπτουσιν Ap. P. S. εἰς πάντα Ap. P. ἀξίως καὶ εἰς πάντα S.* — 5. *ἀξίως Ap. P. S.* — 6. *ἐγχειρούντων Ap. P. ἐπιχειρούντων S.* — 8. *ἀφ᾽ ὧν Ap. καθ᾽ ὑπερβολήν, οὐ δάκρυσιν, ἐφ᾽ ὧν S.* — 9. *παλαιοί Ap. ἀρχαῖοι S. πείσῃ Ap. S. πείσει Ap.(N).* — 11. *πείσειεν Ap. Ald. S.* — 12. *τῶν βουλομένων μὴ S. τῶν βουλευομένων μὴ Ap. τῶν μὴ βουλομένων P.* — 15. *καὶ S. εἶθ᾽ Ap.* — 16. *ἐπὶ τῶν Ap. S.* — 17. *ἐκτείναντο Ap. ἀπέκτειναν S.*

---

14. P. = S. cfr. Hes., Zen. I 49 — M. II 90. Gr. 13 = Ald. — L. III 12. schol. Plat. Phaedr. 276B — Ap. I 34 — B. 18 — Ps. D. V. I 12 — G. C. M. I 7, schol. Theocr. XV 112, 113, Zon.

15. = P. = Ald. = Zen. II 44 = Ap. I 40 — S., L. III 22, Mac. I 37, Ps. D. I 58 — G. C. I 18 = G. C. M. I 18. L² Va 13.

16. = Ap. I 41 = P. = S. = Zen. II 49 = Ald. (erweitert) = Gr. 18 (erweitert). cfr. L. III 14 — B 49 — Ps. D. I 65, G. C. L. I 9, Mac. I 39. G. C. I 17 = G. C. M. I 17 = L² Va 17.

17. = Ap. I 63 = Ald. = S. — B. A. p. 356, 13. cfr. Zen. I 34 — B. 63 — Ps D. I 32. G. C. I 35 = G. C. L. I 14 = G. C. M. I 32. Mac. I 49. L. III 29, P.

18. = Ald. = P. = S. cfr. Ap. I 65. G. C. M. II 32.

19. = S. (erweitert) = Ap. I 69 = Ald. cfr. Zen. I 35. Ps. D. I 33. G. C. L I 43 = G. C. M. II 5. L. III (p. 417).

20. = Ap. I 73 = Zon. = S (erweitert). cfr. Zen. I 47 = B. 77. Ps. D. I 46 — Ps. D. V. I 20 — Mac. I 60. Zen. I 47 — Gr. 33 = Ald. — M. IV p. 376.

21. Ἀκάμπιος δρόμος· ὁ μακρὸς καὶ †εὐθείας περίπατος.

22. Ἀκάνθιος †τέτυξ· ἐπὶ τῶν ἀφώνων εἴρηται.

23. Ἅλας ἄγων καθεύδεις· ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥαστωνευομένων· ἐμπόρου †δέ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας.

24. Ἀληλεσμένος βίος· ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων.

25. Ἄλλην δρῦν βαλάνιζε· ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων.

26. Ἀλώπηξ δωροδοκεῖται· ἐπὶ τῶν ῥᾳδίως δώροις ἁλισκομένων, Κρατῖνος Νόμοις (fr. 128 Kock)· Ὑμῶν †εἰς μέσον ἕκαστος ἀλώπηξ δωροδοκεῖται.

27. Ἀλώπηξ τὸν βοῦν ἐλαύνει· τάττεται δὲ ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων.

28. Ἀμαλθείας κέρας.

---

1. καὶ δι' εὐθείας *S.* δι' εὐθείας *B. A.* p. 363, 21. — 2. τέττιξ *S.* — 4. γάρ τινος *Ap. S.* — 5. πληρώσαντος τὴν ἀντλίαν *S.* πληρώσαντος καὶ (Ap. εἶτα) καθεύδοντος τὴν ἀντλίαν *Ap. P.* — 6. ἅλας. ὅθεν καὶ ἡ παροιμία κτλ. *S.* ἅλας· ἔνθεν ἡ παροιμία *P.* — 7. ἀληλεσμένος βίος *S.* ἀληλεσμένος βίος καὶ μεμαγμένος *Ap.* — 8. ὄντων *S.* ὄντων ἢ κτλ. (= *Ps. D. I* 17) *Ap.* — 10. παρὰ τῶν αὐτῶν ἀεὶ *Ap. S.* ἐπὶ τῶν συνεχῶς *Ps. D.* δανειζομένων κτλ. *Ap.* δανειζομένων καὶ ἑτέρα κτλ. *S.* — 11. ῥᾳδίως *Ap. P.* μὴ ῥᾳδίως *S.* — 12. εἰς μέσον *Ap.*, εἷς μέν *P. S.* — 14. τάττεται ἐπὶ *Ap. P.* τάττεται ἡ παροιμία ἐπὶ *S* — 15. ἀποβαινόντων *P. S.* *Ap.* (*N*) ἀποβαινόντων ἢ κτλ. (= *Ps. D. II* 73) *Ap.*

---

21. = S. (erweitert) = Eust. p. 1328, 23. cfr. Hes., B. A. p. 363, 21, P., Et. Gud.

22. cfr. Et. M., S., Zen. I 51, B. 81, Ps. D. I 49, Ps. D. V. I 22, Ap. XVI 33, M. IV p. 377 = L. III 38, M. III 107, L² Va 20, Steph. Byz. s. v. Ἄκανθος.

23. = Ap. II 9 = P. (erweitert) = S. = Ald. — Zen. I 23 = B. 25 = Ald. cfr. M. IV p. 379 = L. III 49 = Ald.

24. = Ap. N. II 15 = S. (erweitert) = Ald (erweitert). cfr. Zen. I 21, B. 22, Ps. D. I 17, Mac. I 83. G. C. M. I 21, Pal 129 II 22.

25. = S. (erweitert) = Ald. (erweitert) Ap. II 16 (erweitert). cfr. Ps. D. I 19, B. 23, Mac. I 87. Zen. II 41 = Ald. — M. I 17, Pal. 129 I 22. G. C. I 9 = G. C. L. I 5 = G. C. M. I 9. Eust. 1726, 11, 1859, 51.

26. = Ap. II 17 = P. = Ald. = S. (erweitert) — B. A. p. 218, 29. cfr. Zen. I 71 = B. 99 = Ps. D. II 18. G. C. I 26. L² Va 42.

27. = P. = S. = Ps. D. V. I 75 = Ap. II 21 (N) = L² Vb 1 = Ald. (erweitert). cfr. Ps. D. II 73 = G. C. I 61 = G. C. L. I 21. M. IV p. 378 = Ald. (erweitert).

28. cfr. Ap. II 53, Zen. II 48, Ald., P., S.

29. Ἄνθρακες ὁ θησαυρὸς ἦσαν· ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθά, κακουμένων δέ, ἀφ᾽ ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

30. Ἄνθρωπος Εὔριπος· ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

31. Ἀπὸ καλοῦ ξύλου κἂν ἀπάγξασθαι· ἤγουν κρεῖσσον ἀπὸ ἀγαθοῦ ἢ ἀπὸ φαύλου πάσχειν.

32. †Ἀπόλεμος· τίθεται ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

33. Ἀπ᾽ ὄνου καταπεσών· παροιμία ἀπὸ τῶν ἱππικῇ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι. Ἀριστοφάνης Νεφέλαις (v. 1273).

Τί δῆτα ληρεῖς ὥσπερ ἀπ᾽ ὄνου καταπεσών;

ὁ δὲ Πλάτων „Ἀπ᾽ ὄνου καταπεσών" ἐν τοῖς Νόμοις· Καὶ μὴ καθάπερ ἀχάλινον στόμα βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν ἀπό τινος ὄνου καταπεσεῖν (Leges III 701 C).

34. Αὐτὴ νῦν ἡ σοφία ζῇ· ἐπί τινος εὐδοκιμοῦντος.

35. †Ἀχρειόγελος ἄνθρωπος· ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

---

1. ἦσαν *P. S.* > *Ap.* — ἐπὶ *Ap. P.* παροιμία ἐπὶ *S.* — 2. ἐλπίς *P. S.* ἐλπὶς ἢ κτλ. (= *Ps. D I 90*) *Ap* — 3. Ἄνθρωπος καὶ τύχη καὶ διάνοια Εὔριπος *P.* Ἄνθρωπος Εὔριπος· τύχη Εὔριπος· διάνοια Εὔριπος *S.* ἄνθρωπος Εὔριπος· τύχη Εὔριπος· ὄνομα Εὔριπος *B. A.* p. 404, 14. — 5. ἀπάγξασθαι· θέλει (οὖν Ap.) λέγειν· (ὅτι S.) βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις· κἂν γὰρ δέῃ παθεῖν κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν *Ap. S.* (κτλ. S.) — 7. Ἀπόλεμος *Ap. Ald. S.*, lies: ἀπόλεμος πόλεμος. — 9. παροιμία > *Ap.* — 13. ὁ δὲ φιλόσοφος Πλάτων, ὡς οὐκ ἀπὸ τοῦ ζῴου τὴν παροιμίαν λέγεσθαι ἀλλ᾽ ἀπὸ τοῦ νοῦ, οὕτως· καὶ μὴ . . · ἀχάλινον κεκτημένον τὸ στόμα *S.* — 14. κατὰ τὴν παροιμίαν κτλ. > *Ap.* — 16. εὐδοκιμοῦντος *B. A. p. 464 19* εὐδοκιμοῦντος κτλ. *S.* εὐδοκιμοῦντος χρῶ *B. A. p. 9, 16.* εὐδαιμονοῦντος *Ap.* — 17. Ἀχρειόγελως *Ap., B. A.* p. 475, 7, *S.*

---

29. = P. = S. = Ap. II 86 (erweitert). cfr. Zen. II 1, B. 129, Ps. D. V. I 52, Ps. D I 90, Mac. II 16 = G. C. I 64 = G. C. M. I 61.

30. = Ap. II 88 = S. = Ald. = P. = B. A. p. 404, 14. cfr. Ps. D. III 39. G. C. I 79 = G. C. M. I 76. Pal. 129 II 17, 18.

31. cfr. Ap. III 34 = S.

32. = Ap. III 49 = Ald. = S.

33. — S. = Ald. — Ap. III 54 = Ald., C. 39. M. IV p. 382. B. 161. Zen. II 57 = Ald. Hes., L² Va 24.

34. = Ap. IV 29 = B. A. p. 9, 16. B. A. p. 464, 19 (erweitert) = S. (erweitert).

35. = Ap. IV 65 = S., B. A. p. 475, 7.

36. Ἄχρι κόρου· παροιμία ἦν, ὅτι Ἄχρι κόρου ἐκεῖνος ἀναισθητός ἐστι καὶ Ἄχρι κόρου οὗτος ἐφενάκιζεν.

37. Βάκχης τρόπον· ἐπὶ τῶν ἀεὶ †στυγνῶν καὶ σιωπηλῶν, παρόσον αἱ Βάκχαι σιγῶσι.

38. Βάμμα Κυζικηνόν· τὴν ἀκάθαρτον ἀσχημοσύνην Ἀττικοὶ λέγουσι.

39. Βάμμα Σαρδιανικόν· ἀντὶ τοῦ μή σε ἐρυθρὸν ποιήσω οἷον ἵνα μή σε φοινίξω· νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ †ὀξύτατοι· βούλεται οὖν δηλοῦν· ἵνα μή σε πληγὰς ἐντρίψω.

40. †Βάτου σίλφιον· ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων.

41. Βατράχειον· εἶδος χρώματος· ἀπὸ τούτου καὶ Βατραχίς, ἱμάτιον· †ὅμοιον τὸ ὄνομα ἔχοντος καὶ τὸ χρῶμα.

42. Βατράχῳ οἰνοχοεῖς· ἐπὶ τῶν ταῦτα παρεχόντων, ἅπερ οὐ χρή.

43. Βίαντος Πριηνέως δίκη· οὗτος εἷς τῶν ἑπτὰ σοφῶν. λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι.

---

2. οὗτος ἄχρι κόρου ἐφενάκισεν S. οὗτος ἄχρι κόρου φενακίζει Ap. ἐστιν. οὕτω καὶ ἄχρι κόρου ἐφενάκισεν B. A. 475, 22. — 3. στυγνῶν Ap. S. στεγανῶν Bernhardy. — 5. Κυζικηνόν Ap., Ald., Et. M., S., Zon., Hes. Κυζικηνικόν Arist. pac. v. 1176. — οἱ Ἀττικοὶ Ap. Ἀττικοὶ S. 6. λέγουσιν Ap. λέγουσι S. — 7. Σαρδιανικόν S. Σαρδινιακόν Ap. — 8. οἷον ἵνα μή σε φοινίξω S. > Ap. — 9. ὀξύτατοι Ap. ὀξύταται S. (codd. AV). — 11. Βάτου Ap. Βάττου S. λαμβανόντων· οἱ γὰρ κτλ. Ap. S. — 13. ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα πρὶ ἐπινοηθῆναι τὰ προσωπεῖα· καὶ Βατραχίς, εἶδος ἐσθῆτος ἀνθίνης ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα κτλ. S. — 14. ἅπερ οὐ χρήζουσιν οἱ λαμβάνοντες Ap. ὧν οὐ χρῄζουσιν οἱ λαμβάνοντες S. — 16. σοφῶν S σοφῶν ἦν Ap. — 17. εἰς τὰς δίκας δεινὸς γεγονέναι Ap. τὰς δίκας δεινότατος γεγονέναι εἰπεῖν κτλ. S.

---

36. = Ald. = S. = Zen. I 44 = B. A. p. 475, 22 = S. (676) p. 64. cfr. Ap. IV 67, B. 73.
37. = Ap. IV 71 = Ald. = S. cfr. Ps. D. III 43.
38. = Ap. IV 73 = S. (erweitert) = Et. M. (erweitert). cfr. Zon., Hes., M. IV p. 383. Ald. = M. + Ap.
39. = Ald. = S. = Ap. IV 74 = schol. Arist. Ach. v. 112. cfr. Hes.
40. = Ap. IV 76 (erweitert) = Ald. (erweitert) = S. (erweitert). cfr. B. A. p. 224, 30, Hes., B. 258, Mac. II 71, C. 49.
41. = S. (erweitert). cfr. schol Arist. Equit. v. 1406, v. 522; B. A. p. 224, 22.
42. = Ap. IV 78 = S. cfr. Ps. D. V. II 8, Ps. D. III 57 = Zen. II 78 = B. 235, Mac. II 75, Ald. = S. + Zen.
43. = Ap. IV 92 = Ald. = S. (erweitert).

44. *Βίον μεμαγμένον· ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.*

45. *Βίον ἀκανθώδη· τὸν τραχὺν καὶ σκληρὸν †παλαιόν.*

46. *Βλέπειν γὰρ ἄντικρυς δόξει μ' Ἄρην· ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν.*

47. *Βοιώτιος νόμος· ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.*

48. *Βοῦς ἐπὶ γλώττης· ὅ ἐστι νόμισμα. ἁρμόζει δὲ ἐπὶ τῶν ῥητόρων †νομίσματα ὑπὲρ τοῦ μὴ κατηγορῆσαί τινα, ἀλλὰ σιωπῆσαι.*

49. *Γάλα ὀρνίθων· ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων ἢ ἐπὶ τῶν σπανίων.*

50. *† Γελοιώτερος Μελιτίδου· ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβλημένων. Μελιτίδης γὰρ ἦν ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν.*

51. *Γέρανος· τὸ ὄρνεον.*

---

1. *Βίον-βίῳ Ap. Βίος ποτὲ μὲν ἡ οὐσία τῶν κτημάτων, ποτὲ δὲ αὐτὸ τὸ ζῆν καὶ παροιμία· Βίον-βίῳ καὶ παροιμία· κτλ. S.* — 3. *παλαιόν* > *Ap. βίος ἀκανθώδης· ὁ τραχὺς καὶ σκληρὸς καὶ παλαιὸς κτλ. S.* — 4. *δόξεις Ap. S. Arist. Plut. v. 328.* — 5. *συμπράττειν Ap., schol. Arist. Plut. v. 328. πράττειν S.* — 9. *τῶν ῥητόρων τῶν λαμβανόντων Ap.* — 12. *ἢ ἐπὶ τῶν σπανίων κτλ. S. ἢ σπανίων* > *Ap.*, der anders fortsetzt. — 13. *Γελοιότερος Ap. γελοιότερον S. διαβεβλημένων S. διαβεβοημένων Ap.* — 14. *κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ Ap. S.* — 16. *ὄρνεον ἐπίκοινον κτλ. S. γέρανος: ὄρνεον* > *Ap*

---

44. = Ap. IV 93 = S. (erweitert) = Ald. (erweitert) — M. IV p. 383. cfr. Hes., B. 259, C. 51, Ps. D. III 69, Mac. II 78.

45. = Ap. IV 94 = Ald. = S. (erweitert).

46. = Ap. IV 98 = S. (erweitert). cfr, schol. Ar. Plut. V. 328.

47. = Ap. V 4 = S. = Plutarch I 77. cfr. G. C. I 92, G. C. M. II 47, Mac. II 80, Zen. II 65 = Ald.

48. = Ap. V 7 — Et. M. 320, 54 (erweitert). cfr. S., Ps. D. III 48, Ps. D. V. II 2, G. C. I 95 = G. C. M. II 49, Mac. II 88. Zen. II 70 = B 221 = Ald. (verkürzt). Hes., Pollux IX 61. Eust. p. 962, 18, p. 252, 25.

49. = Ap. V. 19 (erweitert) = S. (erweitert) = Ald. (erweitert). Ps. D. V. II 15, Ps. D. III 92 = B. 291. G. C. M. IV 71, Mac. VI 49. schol. Ar. Aves. v. 733.

50. = S. (erweitert) = C. 70 = Ald. = Ap. V 27. cfr. Eust. p. 1669, 51.

51. = Ap. V 35 — S. = Ald. schol. Ar. Av. v. 1137. C. 73.

*Γέρανοι λίθους †καταπεπτωκυῖαι· ἐπὶ τῶν προνοητικῶς τι ποιούντων· αἱ γὰρ γέρανοι πετόμεναι λίθους φέρουσιν.*

52. *Γέρων βοῦς ἀπένθητος δόμοισιν· ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.*

53. *Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται· ἐπὶ τῶν διὰ χρόνου †πλήθους οὐχ ἁμαρτανόντων.*

54. *Γέρων πίθηκος ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται· ἐπὶ τῶν ἅπαξ δυστυχησάντων.*

55. *Γλαύκου τέχνη· ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων.*

56. *Γόργειον βλέπει· ἐπὶ τῶν ἀγρίως βλεπόντων.*

57. *Γραῶν ὕθλοι· ἐπὶ τῶν μάτην ληρούντων.*

58. *Δαιδάλου ποιήματα· ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας.*

59. *Δασύπους· λαγώς· παροιμία· Πρότερον χελώνη παραδραμεῖται δασύποδα. ἐπὶ τοῦ ἀδυνάτου.*

60. *Δασύπους κρεῶν ἐπιθυμεῖς. λέγεται ἐπὶ τοῦ ἐπιθυμοῦντος παρ' ἄλλου γενέσθαι τὰ ὄντα παρ' ἑαυτῷ.*

---

1. *καταπεπωκυῖαι* S. *λίθου καταπεπτωκότος* Ap. — 2. *αἱ γὰρ γέρανοι πετόμεναι λίθους φέρουσιν κτλ.* (= Ael.) Ap. *αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτοιεν κτλ.* S. — 5. *διὰ χρόνου πλῆθος* Ap *διὰ χρόνων πλῆθος* S. — 7. *Γέρων πίθηκος ἁλίσκεται μὲν μετὰ* Ap. Ald. *γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ, ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται* S. — 9. *μὴ ῥᾳδίως* Ap. *ῥᾳδίως* S. — 10. *ἢ-εἰργασμένων· ἐπειδὴ οὗτος εὗρε σιδήρου κόλλησιν, Χῖος ὢν* Ap. *ἢ-εἰργασμένων·* > S. *κατεργαζομένων· ἀπὸ Γλαύκου τινὸς Σαμίου, ὃς πρῶτος σιδήρου κόλλησιν ἐξεῦρεν* S. — 12 *ἐπὶ* Ap., Mac., Ps. D. *ἡ παροιμία ἐπὶ* S. — 13. *τέχνας κτλ.* (= Palaeph.) Ap., *τέχνας κτλ.* S. — 14. *καὶ παροιμία* S. — 16. *ἐπιθυμεῖς* S. (codd. C, V, E,) *ἐπιθυμεῖ* Ap. — 17. *ἄλλου* Ap. *ἄλλῳ* S. *ὄντα παρ' ἑαυτῷ* S. *ὄντα αὐτῷ* Ap.

---

52. = Ap. V 36 = Ald. = S. = Zen. II 97 = B. 317 = Ps. D. V. II 25 = Ps. D. IV 11. cfr. G. C. II 12 = G. C. M. II 65. C. 74.

53. = Ap. V 31 = Ps. D. IV 7 = Zen. II 90 = B. 312. cfr. S. = Ald. G. C. II 10 = G. C. M. II 63.

54. = Ap. V 37 = Ald. = S. (erweitert).

55. = Ap. V 45 (erweitert). cfr. Ps. D. IV 8. Mac. II 100, B. 313. S., Zen. II 91, C. 80. Hes. Ald. = Zen. + S.

56. = Ap. V 57 = Ald.

57. = Ap. V 63 = Mac. III 5 = Ps. D. III 79 = Zen. III 5 = B 275 = S., G. C. I 100.

58. = Ap. V 80 (erweitert) = S. (erweitert). cfr. Ps. D. V. II 36 — Zen. III 7 = Ald. — B. 335. C. 96 — Mac. III 14. G. C. L. I 90 = G. C. M. II 89. B. A. p. 240, 16. Hes.

59. = S. — Ap. V 82. cfr. Ap. XIV 88, Ps. D. V. III 63 = Ps. D. VII 57, B. 786, Hes.

60 = S. = Ap. V 85. cfr. Ps. D. IV 12, B. 319, Terenti Eun. v. 426.

61. *Δέδοται καὶ κακοῖσιν ἄγρα· ἐπὶ τῶν παρ᾽ ἀξίαν εὐπραγούντων.*

62. *Δελφῖνα νήχεσθαι διδάσκεις· ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηνται.*

63. *Διαγόρας ὁ Μήλιος· ἐπὶ τῶν ἀθέων καὶ ἀπίστων.*

64. *Διὰ δακτυλίου δεῖ σ᾽ ἑλκυσθῆναι· ἐπὶ τῶν διὰ νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γινομένων.*

65. *Δικαιότερος σταχάνης· ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν· ἴσως †περὶ τὴν στάσιν.*

66. *Δίκης ὀφθαλμός, ἧς μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.*

67. *Δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην· ἐπὶ τῶν συνειρόντων δίκας δίκαις.*

68. *Δίκην ὑφέξει κἂν ὄνος †δάκνῃ κύνα· ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.*

69. *†Δικτύων ἄνεμον θηρᾷς· ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων.*

---

4. *ἤσκηνται ἢ ἐπὶ τῶν ἄκρως εἴς τι πεπαιδευμένων καὶ προσποιουμένων κτλ.* Ap. *ἤσκηνται κτλ.* S. — 5. *ἀθέων καὶ ἀπίστων* Ap. *ἀθέων καὶ ἀπίστων καὶ ἀσεβῶν κτλ.* S. — 9. *παρὰ* Ap. S. — 10. *στάσιν καὶ ἑτέρα παροιμία κτλ.* S. — 11. *ἧς μηδέποτε* S *ἧς δεῖ μηδέποτε* Ap. *ἧς μηδέποτε δεῖ* Polybius XXIII 10, 3. — 13. *ἐπὶ* Ap *παροιμία ἐπὶ* S. *τῶν φιλοδίκων καὶ συνειρόντων* Ap. S. — 15. *δάκῃ* Ap. S. — 17. *Δίκτυον καὶ παροιμία· Δικτύῳ* S. *Δικτύῳ* Ap.

---

61. = Ap. V 89 = S. cfr. Zen. III 31 = Ald. = Ps. D. IV 34 = B. 349. G. C. II 20 = G. C. M. II 85.

62. = Ap. V 96 (erweitert) = Ald. = Zen. III 30 = C. 104 = S. (erweitert) = Mac. III 25. cfr. Ps. D. V. II 43, B. 348, Ps. D. IV 33, Ps. D. I 65.

63. = Ap. VI 4 = S. (erweitert). S. = Ald. (teils erweitert, teils gekürzt).

64 = S. = Zen. III 18 = Ald. = Ps. D. V. II 41 = S. (676) p. 76 — G. C. M. II 82. cfr. Ps. D. IV 30. G. C. II 17. Ar. Plut. v. 1036. Ap. VI 21.

65. = Ap. VI 7 = Zen. III 16 = G. C. L. I 91 = G. C. M. II 90 — Ps. D. IV 28 = S. (erweitert) = Ald. (erweitert) — B. 340. M. II 64, L. V 36. Ps. D. V. II 39. Mac. III 30.

66. = Ap. VI 8 = S. (erweitert) = Ald. (erweitert).

67. = Ap. VI 9 (erweitert) = S. (erweitert) = Zen. III 28 (erweitert). cfr. G. C. II 14 = G. C. L. I 87 = G. C. M. II 79. Ps. D. V. II 42, B. 347. Ald. — Ap.

68. = Ap. VI 11 = S. = Ald. = Zen. III 20 = B. 326 — Ps. D. IV 17 = G. C. II 13 = G. C. M. II 78. C. 109.

69. = Ap. VI 12 = S. (erweitert) = Zen. III 17 = Ald. = B. 341. cfr. Ps. D. IV 29, Ps. D. V. II 40.

70. Δὶς ἑπτὰ πληγαῖς πολύπους πιλούμενος· ἐπὶ τῶν κολάσεως ἀξίων, παρόσον ὁ πολύπους θηραθεὶς τύπτεται πολλάκις πρὸς τὸ †πῖον γενέσθαι.

71. Διωλύγιον κακόν· ἐπὶ τῶν μέγα τι καὶ †δεινῶν ὑφισταμένων. διωλύγιον γάρ ἐστι τὸ μέγα καὶ †πολὺ διῆκον καὶ θρηνῶδες.

72. Δύο τοίχους ἀλείφεις· λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων καὶ διὰ μέσου χωρούντων ἐν μάχαις ἢ φιλίαις· εἴρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους †εὐφεγγίας ποιούντων.

73. Δωδεκαμήχανον· ἀνὰ τὸ Δωδεκαμήχανον Κυρήνης· ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις ἤθεσι χρωμένων.

74. Δωδωναῖον χαλκεῖον· ἐπὶ τῶν ἀκαταπαύστως καὶ πολλὰ λαλούντων.

75. Ἐγένετο καὶ Μάνδρωνι συκίνη ναῦς· λέγεται ἐπὶ τῶν παρ᾽ ἀξίαν εὐτυχησάντων· ὁ γὰρ Μάνδρων παρὰ Ἀθηναίοις ναύαρχος ᾑρέθη ἀνάξιος ὢν τῆς ἀρχῆς· ἡ δὲ συκίνη ναῦς τὸ εὐτελὲς δηλοῖ.

76. Ἐγὼ δὲ καὶ σὺ ταὐτὸν ἕλκομεν ζυγόν· ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

---

3. πίων γενέσθαι Ap. πίων γενέσθαι καὶ ἑτέρα παροιμία S. — 4. Διωλύγιον· μέγα· καὶ παροιμία· Δ. κ. S. δεινόν Ap. S. — 5. διωλύγιον γὰρ κτλ. > Ap. διωλύγιον γάρ ἐστι τὸ μέγα καὶ ἐπὶ πολὺ διῆκον S. καὶ θρηνῶδες > S. — 7. Δύο S. Δύω Ap. — 9. εὐφεγγίας Ap. S. — 10. Δωδεκαμήχανον· ἀνὰ τὸ > Ap. S. Δωδεκαμήχανος Κυρήνη -χρωμένων ἤθεσιν Ap. Δωδεκαμήχανον· ἐπὶ-χρωμένων ἤθεσιν. Κυρήνη γάρ τις ἐπίσημος γέγονε ἑταίρα κτλ. S. — 13. λαλούντων κτλ. Ap. — 15. παρ᾽ ἀξίαν Ap. ἐπὶ τῶν παρ᾽ ἐλπίδα καὶ παρ᾽ ἀξίαν εὐτυχησάντων εἶτα θρυπτομένων ἐπὶ τοῖς παροῦσιν S.

---

70 = Ap. VI 23 = S. (erweitert) = Zen. III 24 = Ald. = B. 345.

71. = Ap. VI 25 — S. = Ald. cfr. Zen. III 34 — B. 350. Zon., schol. Plat. Theaet. p. 162A, G. C. L. I 92 = G. C. M. II 91. Hes. Et. M.

72. = Ap. VI 37 = S. cfr. B. 353. Pal. 129 I 52 = $L^2$. Vb 6.

73. = S. (erweitert) = Ap. VI 41 (gekürzt). cfr. schol. Ar. Ran. v. 1328, Hes.

74. = Ap. VI 43 (erweitert) — S. cfr. Ps. D. VIII 32 — C. 116. Zen. VI 5 = Pal. 129 I 18 = B. 887 — L. IV 2. G. C. II 16 = G. C. M. II 81. S = Ald. — schol. Ven. B. Il. *Π*. 233 — Eust. p. 1760, 55. Steph. Byz. p. 249, 4 (ed. Meineke).

75. = Ap. VI 45 = S. (erweitert) — Zen. III 44 = Ald. — B. 382 — Mac. III 45, M. III 46.

76. = Ap. VI 47 = S. = Zen. III 43 = B. 383 (gekürzt) = Ald.

77. Εἰ μὴ δύναιο βοῦν, ἔλαυνε ὄνον· ἐπὶ τῶν, ὃ κατὰ δύναμιν ἔχουσι, πράττειν.

78. Εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθα· ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

79. ⟨Ε⟩ὶς ἀρχαίας φάτνας· ἐπὶ τῶν ἀπολαύσεώς τινος ἐκπεσόντων, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλθόντων δίαιταν.

80. Εἰς †Μασαλίαν πλεύσειας· ἐπὶ τῶν θηλυτέρως καὶ μαλακῶς ζώντων καὶ ποικίλαις στολαῖς χρωμένων καὶ μύροις.

81. Εἰς μελίττας ἐκώμασας· ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόως.

82. Εἰς οὐρανὸν τοξεύεις· ἐπὶ τῶν ἀδυνάτων.

83. Εἰς πῦρ ξαίνειν· ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων μάτην ἢ λεγόντων.

84. Εἰς τέφραν γράφειν· ἐπὶ τῶν ἀδυνάτων.

85. Εἰς τετρημένον ἀντλεῖν· λείπει πίθον· τάσσεται δὲ ἐπὶ τῶν εἰς κενὸν †ποιούντων. καὶ γὰρ μυθεύουσιν ἐν Ἅιδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν.

---

2. πράττειν παραινούντων S. — 6. εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλθόντων δίαιταν Ap. πάλιν δὲ εἰς αὐτὴν ἐπανελθόντων S. — 7. Εἰς Μασαλίαν Ap. Ἐς Μασσαλίαν S. ἐπὶ-μύροις Ap. ζώντων. οἱ γὰρ Μασσαλιῶται θηλύτερον ἔζων, στολαῖς ποικίλαις καὶ ποδήρεσι καὶ μύροις χρώμενοι S. — 9. ἐκώμασας Ap. γ' ἐκώμασας S. — 10. ἀθρόως S. ἀθρόως. κτλ. Ap. — 11. Εἰς-ἀδυνάτων Ap. τοξεύειν κτλ. S. — 12. ἐπὶ Ap. παροιμιακὸν ἐπὶ S. πραττόντων ἢ λεγόντων Ap. πραττόντων μάτην ἢ λεγόντων κτλ. S. — 14. ἀδυνάτων Ap. ἀδυνάτων κτλ. S. — 15. Εἰς τετρημένον πίθον ἀντλεῖς· τάσσεται ἐπὶ Ap. Εἰς τ. π. ἀντλεῖν. εἴρηται ἡ παροιμία ἀπὸ κτλ. S.

---

77. = S. = Zen. III 54 = Ald. cfr. Ap. VI 51. Ps. D. V. II 58, B. 393, C. 129.

78. = Ap. VI 52 = S. = Ald. = Zen. III 56 = B. 395 (gekürzt). cfr. G. C. II 33 = G. C. M. III 6.

79. = Ap. VI 60 = Zen. III 50 = B. 387 = Ps. D. V. II 53 = S. = Ald. cfr. Mac. III 51, G. C. II 28 = G. C. M. III 1, C. 136.

80. = Ap. VI 69 = S. (erweitert). cfr. Plut. I 60 = Ald. B. 369. C. 147.

81. = Ald. = Ap. VI 70 (erweitert) = S. = Ps. D. V. II 54 = Zen. III 53 = Hes. cfr. G. C. L. II 6 = G. C. M. III 34. Eust. p. 897, 57.

82. = Ap. VI 71. cfr. S. — Mac. III 60 — Zen. III 46. Ps. D. V. II 61.

83. = Ap. VI 72 = S. — C. 151 — Ald. — schol. Plat. Legg. 780 C. Zen. V 27 — Mac. III 61. B. 398. B. A. p. 69, 27.

84. = Ap. VI 73 = S. (erweitert).

85. = Ap. VI 79 — S. cfr. Ald. B. 449, C. 155, Mac. III 57.

86. *Εἰς ὕδωρ γράφειν*· ἐπὶ τῶν ἀχρήστων καὶ ὧν οὐκ ἔστι φροντὶς καὶ ἀπίστων.

87. *Ἐκδεδαρμένον δέρεις*· ἐπὶ τῶν μάτην †ποιούντων.

88. *Ἐλεύθεραι αἶγες ἀρότρων*· ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων.

89. *Ἐλέφαντος οὐδὲν διαφέρεις*· ἐπὶ τῶν ἀναισθήτων, παρόσον καὶ τὸ ζῷον τοιοῦτον.

90. *Ἐλέφαντα ἐκ μυίας ποιεῖν*· ἐπὶ τῶν ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων.

91. *Ἔνεστι κἂν μύρμηκι χολή*· παρεγγυᾷ μηδὲ τῶν μικρῶν καταφρονεῖν.

92. *†Ἀνθ' οὔτε μίμνειν †ἀνάμνους οὔτ' ἐκπλεῖν ἐᾷ*· ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων τοῦτο λέγεται· φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.

93. *Ἐν Καρὶ τὸν κίνδυνον*· ἐπὶ τῶν ἀλλοτρίοις κινδυνευόντων.

---

3. πονούντων Ap. S. — 4. ἐπὶ Ap. παροιμία ἐπὶ S. — 6. ἐπὶ τῶν ἀναισθήτων Ap. ἐπὶ τῶν μεγάλων καὶ ἀναισθήτων S. — 7. τοιοῦτον S. τοιοῦτον κτλ. Ap. — 8. ποιεῖν S. ποιεῖς Ap. τὰ ἐλάχιστα Ap. S. — 11. καταφρονεῖν S. καταφρονεῖν ἐν τῷ ἀμφισβητεῖν Ap. — 12. ἔνθ Ap. S. ἀνέμους Ap. ἄνεμος S. — 15. Ἐν — ἐν ἀλλοτρίοις κινδυνευόντων Ap. ἐπὶ τῶν μισθοῦ πωλούντων τὰ οἰκεῖα δυσχερῆ διὰ τὸ τοὺς Κᾶρας πρώτους ἀνθρώπους μισθοῦ στρατεύσασθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἐν ἀλλοτρίοις κινδυνευόντων S.

---

86. = Ap. VI 80. cfr. L². Vb 10, Mac. V 50, B. 394, Ps. D. V. II 59., S.

87. = Ap. VI 87 = S. = Ald. = B. 403. cfr. G. C. II 44 = G. C. M. III 17.

88. = Ap. VII 1 = Ald. = S. = Mac. III 76 = Zen. III 69 = B. 411 — Ps. D. V. II 68. cfr. Ps. D. IV 47 = G. C. II 53 = G. C. M. III 26., Hes.

89. = Ap. VII 4 (erweitert) = S. = Ald. (erweitert) = Ps. D. V. II 64 = B. 405 — Pal. 129 I 5. cfr. Ps. D. IV 43. G. C. L. II 9 = G. C. M. III 37.

90. = Ap. VII 5 = S. = Ps. D. V II 67 = Zen. III 68 = Ald. (erweitert) — B. 410 — Pal. 129 I 66. cfr. Ps. D. IV 46 = G. C. II 31 = G. C. M. III 4.

91. = S. = Ap. VII 18 (erweitert) = Zen. III 70 = Ald. — B. 412. cfr. schol. Arist. Vesp. 352, Av. 82. Ps. D. IV 48 — Mac. III 81. G. C. II 35 = G. C. M. III 8.

92. = Ap. VII 22 = Ald. = S. cfr. Ps. D. IV 88 = G. C. L. II 13. G. C. II 47 = G. C. M. III 20. Plut. de tranquillitate animi 476 B. Aesch. fr. 250. (Nauck²). Aristain. I 27, Hercher, ep. gr. p. 156.

93. = Ap. VII 25 = (erweitert). cfr. schol. Plat. Lach. 187 B. Pal. 129 I 20. Zen. III 59 — B. 356. G. C. M. III 45. Hes., Cratin. fr. 16 (K).

94. Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν· ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων ἢ τελευταίων.

95. Ἐν τῷ μέρει τις καὶ τὸ πῦρ σκαλευσάτω. ἐπὶ τῶν εἰς κοινὸν μὴ τὰ ἴσα παρεχομένων.

96. Ἐν τριόδῳ εἰμί· ἐπὶ τῶν ἀδήλων πραγμάτων, ἐπεὶ ὁ ἐν τριόδῳ γενόμενος οὐκ οἶδε, ποίᾳ χρήσεται ὁδῷ.

97. Ἐν φρέατι κυνομαχεῖν· ἐπὶ τῶν ἀποφυγεῖν οὐκ ἐχόντων καὶ μοχθηρῷ τινι προσπαλαιόντων.

98. Ἐξ ἑνὸς πάνθ' ὁρᾶν· ἐπὶ τῶν παρορώντων.

99. Ἐξ ὀνύχων τὸν λέοντα ἔνεστι μαθεῖν καὶ ἐκ μικρᾶς γεύσεως πηγήν· ἐπὶ τῶν ἐκ μικροῦ τινος μαθεῖν τὸ πᾶν.

100. Ἔοικα βοῦς ἐπὶ σφαγὴν μολεῖν.

101. Ἐπεί· ἐπειδή. τὸ δὲ ἐπειδή, ὡς Θουκυδίδης καὶ Ὅμηρος, ἀντὶ τοῦ ἀφ' οὗ.

102. Ἐπειδὴ τὸν †Ταλάντου λίθον τῆς κεφαλῆς ἀπετιναξάμεθα· λέγεται ἐπὶ κινδύνου τινὸς ἐπηρτημένου καὶ παρελθόντος.

---

1. ἐπὶ Ap. παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων, τουτέστι τῶν παριέντων τὰς πρώτας μαθήσεις καὶ ἐφιεμένων τῶν τελευταίων S. — 4. ἐπὶ Ap. παροιμία ἐπὶ S. — 5. παρεχομένων Ap. παρεχομένων κτλ. S. — 6. εἰμί· ἐπὶ Ap. εἰμὶ λογισμῶν· παροιμία ἐπὶ S. ἀδήλων πραγμάτων Ap. ἀδήλων καὶ ἀμφιβόλων πραγμάτων S. ἐπεὶ Ap. ἐπειδὴ γὰρ S. — 8. κυνομαχεῖν Ap. κυσὶ μάχεσθαι S. ἐπὶ-προσπαλαιόντων Ap. ἐπὶ τῶν μοχθηρῷ τινι προσμαχομένων καὶ ἀποφυγεῖν μὴ δυναμένων κτλ. S. — 10. πάνθ' ὁρᾶν Ap. τὰ πάνθ' ὁρᾷ S. — 11. ὀνύχων λέοντα Ap. — 12. τινὸς μανθανόντων τὸ πᾶν Ap. — 14. ἐπειδή· ἔστι μὲν σύνδεσμος παρασυναπτικός· λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀφ' οὗ. ὡς καὶ Θουκυδίδης πολλάκις ἐχρήσατο καὶ Ὅμηρος πρότερον S. ἐπειδή ἔστι μὲν σύνδεσμος συναπτικός· λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἀφ' οὗ. Bachm. p. 227, 4. — 16. Ταντάλου Ap. S. — 17. παρελθόντος Ap. παρελθόντος ἢ κπλ. S

---

94. = Ap. VII 32 — S. — Plut. II 12 — B. 406 — Zen. III 65 = Hes. = Ps. D. V. II 65 — schol. Plat. Lach. 187B. Ps D. IV 44 — G. C. II 55 = G. C. M. III 28. Mac. III 90. M. III 152. Ald. = S. + Zen. (erweitert).

95. = Ap. VII 33 = S. (erweitert) = Ald. (erweitert) = Zon. (erweitert).

96. = Ap. VII 36 = Zen. III 78 = S. (erweitert) — B. 423 — Hes. — Ps. D. IV 59. cfr. G. C. II 42 = G. C. M. III 14. C. 191. Ald. = S.

97. = Ap. VII 40. cfr. Zen. III 45 = B. 420. Ald. = S., G. C. II 43. = G. C. M. III 16., Hes.

98. = Ap. VII 49 = S. — C. 194.

99. = Ap. VII 57. cfr. Mac. III 95. Ps. D. V 15. Zon., Hes.

100. = Ap. VII 59 = S. = C. 200. cfr. Hes.

101. = S. (erweitert) = Bachm. p. 227, 4 (erweitert). cfr. Hes.

102. = Ap. VII 60 = S. (erweitert) = Ald. (erweitert).

103. Ἐπὶ τὰ Μανδροβούλου· ἐπὶ τὰ χείρονα τρεπομένων.

104. Ἐς κόρακας· Βοιωτοῖς ὁ θεὸς ἔχρησεν, ὅπου ἂν λευκοὶ κόρακες ὀφθῶσιν, ἐκεῖ κατοικεῖν. περὶ δὲ τὸν Παγασιτικὸν κόλπον ὑπὸ παίδων ἀκάκων γυψωθέντας κόρακας †ἰδόντας περιπετομένους †τοῦ Ἀπόλλωνος †ὤκησε χωρίον Κόρακας. ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτούς, τοὺς φυγαδευομένους εἰς αὐτὸ ἔπεμψαν. Οἱ δὲ τοῦ ζῴου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ ὄντος.

Ἀριστοτέλης δέ φησι· λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ †παρακαθαίροντας ἐᾶν ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ. Φεῦγ' ἐς κόρακας.

Ὁ δὲ Αἴσωπος μυθικῶς· κολοιὸν μέγα⟨ν⟩ νομίσαντα τοῖς κόραξιν ὅμοιον εἶναι πρὸς αὐτοὺς πορευθῆναι. ἡττηθέντα δὲ πάλιν εἰς τοὺς κολοιοὺς ὑποστρέψαι· τοὺς δὲ ἀγανακτήσαντας †παίειν αὐτὸν λέγοντας· Φεῦγ' ἐς κόρακας. Ἀριστείδης δὲ ἀποδίδωσι διὰ τὸ ἐν τραχέσι τόποις καὶ κρημνώδεσι νεοσσοποιεῖσθαι λέγειν ἡμᾶς· Φεῦγ' ἐς κόρακας.

ἤγουν εἰς σκότος εἰς ὄλεθρον.

105. Εὐμεταβολώτερος κοθόρνου· κόθορνος ὑπόδημα †ἁρμόζων δεξιῷ τε καὶ εὐωνύμῳ ποδί· ὅθεν καὶ †Θηράμνην τὸν ἐπὶ λ' κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι· ἐπὶ τῶν συστρεφομένων οὖν συνεχῶς ἡ παροιμία.

---

1. *Μανδροβόλου* S. *ἐπὶ τῶν εἰς τὰ . . . τρεπομένων κτλ.* S. — 2. *Ἐς κόρακας· Βοιωτοῖς* Ap. *Ἐς κόρακας· εἰς τὸ σκότος, εἰς ὄλεθρον. Ἐς κόρακας· Βοιωτοῖς* P. *Βοιωτοῖς — τοῦ ζῴου* (Z. 7) S. abweichend — Zen. III 87. — 3. *ὀφθῶσιν* P. *φανῶσιν* Ap. — 4. *ἰδόντες* P. *ἰδόντας — Κόρακας* (Z. 5) > Ap. — 7. *ἔπεμπον* Ap. P. *δυσοιωνιστικοῦ ὄντος* Ap. *δυσοιωνιστικοῦ τῶν ἀνθρώπων ὄντος* S. *δυνατικοῦ τῶν ἀνθρώπων ὄντος* P. — 8. *φησι* Ap. P. *φησιν* S. — 10. *παρακαθαίροντας* Ap. *περικαθαίροντας* P. S. — 11. *κόρακας* Ap. S. *κόρας* P. — 12. *μυθικῶς* Ap. P. S. *πλάττει μυθικῶς* Paus. — 13. *ὅμοιον* Ap. *ἴσον* P. S. *πορευθῆναι* S. *πολευθῆναι* Ap. Ep. — 15. *παίειν* Ap P. S. — 18. *ἤγουν-ὄλεθρον* Ap. *ἤγουν-ὄλεθρουν* > P. *ἐς κόρακας οὖν εἰς τὸ σκότος, εἰς ὄλεθρον* S. — 20. *ἁρμόζον* Ap. S. — 20. *Θηραμένην* Ap. P. S. — 21. *συστρεφομένων* P. *μετατρεπομένων* Ap. *παροιμία* Ap. *παροιμία κεῖται* P.

---

103. = S. (erweitert) = Hes. (erweitert). cfr. C. 211. Ap. VII 78 — G. C. M III 50. Bachm. II p. 339, 12 — Zen. III 82 — Ps. D. IV 62 — B. 426. Ald. = Zen. + ? + S., M. III 47.

104. = Ap. VII 96 (erweitert) = P. — S. = Ald. — Zen. III 87 = M. I 67 = L IV (p. 409) — B. 366. Didymus *Φιλιππικῶν* XI 11. Eust. p. 1746, 65 (Schwabe p. 164) schol. Ar. Nub. 133. C. 142 Hes.

105. = P. = Ap. VIII 8. cfr. S. (676) p. 61, S. — Zen. III 93 = Ald. — M. II 63 — L. V 35 — B. 440. Ps. D. IV 72 — G. C. L. II 12 = G. C. M. III 40. Mac. IV 21.

106. *Εὐρυβατεύεσθαι· πονηρεύεσθαι. Εὐρυβάτης καὶ Εὐρυρόας, ὀνόματα κηρύκων.*

107. *⟨Εὐ⟩ρύβατος· πονηρός· ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος.*

*Οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους Ἄθλοις.*
*Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες*
*Βοιωτῶν σίνοντο· γένος δ᾽ ἔσαν †οἱ χαλκῆες,*
*Ὦλος Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες.*
*Νίκανδρος· Αἰγίναιον Εὐρύβατον πανουργότατον.*
*οὗ μνημονεύει Ἀριστοτέλης ἐν α′ †παρὰ δικαιοσύνης· Δοῦρις δ᾽ ἐν τετάρτῳ †παρὰ Ἀγαθοκλέα ἀπὸ τοῦ †Ὀδυσσοέως ἑταίρου.*

*Λέγεται τὸν Εὐρύβατον κλέπτην ὄντα εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες †ἕλωσαν αὐτὸν οἱ φυλάττοντες, ἐκέλευσαν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναρρίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι, δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους καὶ τὰς †ἐγκετρίδας ἀναδραμεῖν εἰς τοὺς τοίχους. ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσιν, διὰ τοῦ στέγους καταπηδῆσαι.*

108. *Ἐχῖνος τόκον ἀναβάλλει· λέγεται ἐφ᾽ ὧν τὸ †ἀναβάλεσθαι πρὸς χείρονος γίνεται. καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ᾽ ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον †ἀπαλάσσειν ἐν τῷ τόκῳ.*

---

3. *πονηρός* S. *ἤτοι πονηρός* Ap. — 8. *ἔσαν* S. *ἦσαν* Ap. *οἱ χαλκῆες* Ap. *Οἰχαλιῆες* S. — 9. *δύω βαρυδαίμονες ἄνδρες* S. *δύω βαρυδαίμονε ἄνδρε* Ap. — 11. *περὶ* Ap. S. — 12. *παρὰ* Ap. *τῶν περὶ* S. *Ὀδυσσέως* Ap. S. *ἑταίρου* Ap. *ἑταίρου· καὶ Ἀριστοφάνης Δαιδάλῳ ὑποθέμενος κτλ.* S. — 14. *εἶλοι* Ap. *ἔλυσαν* S. — 17. *ἐγκεντρίδας* Ap. S. — 19. *ὑπερβαλόντα* Ap. *ὑπερβάλλοντα* S. — 20. *καταπηδῆσαι* S. *καταπατῆσαι* Ap. — 21. *τὸν τόκον* Ap. P. S. — 22. *πρὸς χείρονος* P. S. *πρὸς χεῖρον* Ap. — 24. *ἀπαλλάσσειν* Ap. P. S.

---

106. cfr. S., B. 444. Ps. D. IV 76.
107. = Ap. VIII 12 = S. (erweitert). cfr. Harp., Aesch. *κατὰ Κτησιφῶντος* 137. schol. Luciani. Alex. 4 (p. 180 Rabe). Zon. (s. o. S. 114.)
108. = Ap. VIII 21 (erweitert) = S. (erweitert) = Ald. (erweitert) = P. = Pal. 129 II 8 — Ps. D. IV 91 — Mac. IV 25. cfr. B. A. p. 318, 20.

109. ⟨Ζ⟩εῖ χύτρα, ζῇ, φιλία· ἐπὶ †τῷ δείπνῳ συνιόντων εἰς φιλίαν.

110. Ζήνωνος ἐγκρατέστερος· οὗτος γὰρ ἀκριβῆ δίαιταν εἶχε καὶ λιτήν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. ὀκτὼ γὰρ πρὸς τοῖς ἐνενήκοντα βιοὺς ἔτη κατέστρεψε τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.

111. †Ζαπύρου τάλαντα· †Εὐρατῖνος περὶ Φίλιππον Πέρσην ὄντα ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ μαστιγῶσαι ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀποστερήσαντα εἰσελθεῖν εἰς Βαβυλῶνα καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν καταλαβεῖν τὴν πόλιν. καὶ ἐκ μεταφορᾶς εἶπε· Τάλαντα καὶ ζυγά.

112. Ἡ λύκου δεκάς· ὁ λύκος Ἀθήνησιν πρὸς τῷ δικαστηρίῳ ἥρως μορφὴν ἔχων θηρίου.

113. Ἡμένη πελειάς· παροιμία ἐπὶ τῶν ἁπλουστάτων ταττομένη.

114. ⟨Ἣ⟩ Μορσίμου τις †ῥῆξιν ἐξεγράψατο· ἐπὶ τῶν ἀποβλήτων.

---

1. ἐπὶ τῶν δείπνῳ Ap. S. — 2. φιλίαν Ap. φιλίαν κτλ. S. — 3. ἄκραν εἶχε δίαιταν S. — 4. χωρῆσαι, φιλοσοφίαν κτλ. . . . ἔτη S. — 5. ἑβδομήκοντα Ap. — 7. Ζωπύρου Ap. P. S. Κρατῖνος περὶ Φίλιππον Πέρσην Ap. Κρατῖνος ἐν Πυλαίᾳ· †τοῦτό φασι Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν περὶ Φίλιππον Πέρσην P. — 8. μαστιγῶσαι Ap. μαστιγώσας P. — 9. Βαβυλῶνα P. τὴν Βαβυλῶνα Ap. — 11. πόλιν. ἐκ μεταφορᾶς οὖν εἶπε· Τάλαντα καὶ ζυγά· οἱονεὶ ἔργα καὶ πράξεις P. καὶ ἐκ μεταφορᾶς εἰπεῖν· Τάλαντα καὶ ζυγά· οἱονεὶ ἔργα καὶ πράξεις Ap. — 12. δεκάς P. S. > Ap. ὁ λύκος Ap. λύκος P. παροιμία· λύκος S. — 13. θηρίου Ap. θηρίου κτλ. P. S. — 14. ἁπλουστάτων. κατὰ ἀντιπαρεξέτασιν τῆς παλευτρίας. αἱ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας. παλεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει S. ἁπλουστέρων καὶ ἀκακοήθων ταττομένη· κατ᾽ ἀντεξέτασιν τῶν †πλευτρίδων· αἱ ἐξιπτάμεναι ἄλλας προσάγουσιν P. ἁπλουστάτων ταττομένη κτλ. (= Ael.) Ap. — 16. ῥῆσιν Ap S. ἀποβλήτων καὶ διαβεβλημένων Ap. S. (erweitert).

---

109. = Ap. VIII 31 = Ald. = S. (erweitert) — Ps. D. V. II 79 = Zen. IV 12 = B. 461 = Ps. D IV 96. G. C. L. II 21. G. C. M. III 55 = Pal. 129 II 9. Mac. IV 30. C. 233, 237.

110. = Ap. VIII 32 = S. (erweitert) — C. 236. Diog. Laert. VII 28.

111. = Ap. VIII 35 = P. — S. = Hes. — Zen. IV 9 = Ald. — B. 457. Mac. IV 32.

112. = Ap. VIII 49 = S. (erweitert) = P. (erweitert).

113. = Ap. VIII 54 (erweitert) = S. (erweitert) = C. 252 (erweitert) = B. 469 (erweitert) = P. (erweitert) = Hes. (erweitert), cfr. Hes.

114. = Ap. VIII 57 (erweitert) = S. (erweitert). cfr. schol. Arist. Ran. 151.

115. Ἡ Περγαία Ἄρτεμις· τάσσεται ἐπὶ τῶν ἀγυρτῶν καὶ †πανητῶν, παρόσον καὶ ἡ θεός.

116. Ἡρακλῆς ξενίζεται· ἐπὶ τῶν βραδυνόντων· οἱ γὰρ †ὑποδεχευόμενοι τὸν Ἡρακλῆ βραδύνουσι. πολυφάγος γὰρ ὁ ἀνήρ.

117. Ἡράκλεια λουτρά· τὰ θερμά· κατὰ δωρεὰν γὰρ ὁ Ἥφαιστος ἀνέδωκε λουτρὰ τῷ Ἡρακλεῖ.

118. Ἡράκλειος ψώρα· ἡ Ἡρακλείων θερμῶν δεομένη πρὸς θεραπείαν.

119. ⟨Ἡ⟩ττήθης τινὸς ἀλεκτρυόνος· παροιμία ἐπὶ δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις.

120. Ἡ Φάνου θύρα· τὸν Φάνον φησὶ † Δῆμον ὀβολοστάτην εἶναι, ἄλλως δὲ τυφλόν. ὑπ⟨ανοι⟩γομένης δὲ τῆς θύρας τοῦ ταμιείου αὐτοῦ κατασκευάσαι τοιαύτην, ἣν οὐκ ἄν τις ἤνοιξε μὴ ψόφον ποιήσας. ἐνίους δὲ λέγειν, ὡς μοιχευομένης αὐτοῦ τῆς γυναικὸς τὴν αὔλει⟨ον⟩ θύραν εἰργάσατο, ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι. τῆς δὲ κατὰ τοῦ στέγους δεχομένης τὸν μοιχὸν χλευάζοντας τοὺς γείτονας ἐπὶ †τὸν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν Τὴν Φάνου θύραν εἶναι λέγειν.

---

1. *Περγαία* Ap. (N.) P.S. *Παναγαία* Ap. — 2. *πενήτων* Ap. *πλανητῶν* P. S. *παρόσον καὶ ἡ θεὸς ἀγείρειν καὶ πλανᾶσθαι λέγεται* Ap. *παρόσον ἡ θεὸς αὕτη νομίζεται ἀγυρτεύειν ἀεὶ καὶ πλανᾶσθαι* S. *παρόσον καὶ ἡ θεὸς ἐν αὐτῇ* P. — 3. *ἐπὶ* Ap. *παροιμία ἐπὶ* S. — 4. *ὑποδεχόμενοι* Ap. S. *Ἡρακλῆν* Ap. *Ἡρακλέα* S. *ἀνήρ* Ap. *ἥρως κτλ.* S. — 5. *λουτρά. ἐπὶ τῶν δῶρα λαμβανόντων· κατὰ* Ap. *λουτρά· κατὰ δωρεὰν γὰρ ὁ Ἡ. ἀνέδωκε αὐτὰ τῷ Ἡ., ἐξ ὧν τὰ θερμά* S. *κατὰ — Ἡρακλεῖ* Ap. — 7. *ψώρα* Ap. *ἡ δυσθεράπευτος· ἡ Ἡ. λουτρῶν δεομένη* S. — 9. *ἀλεκτρυόνος· ἐπὶ* Ap. *ἡττήθης τῆς ἀληθείας καὶ ἡττήθης τ. ἀλ. ἐπὶ τῶν — δεσπόταις. κτλ.* S. — 11. *Φᾶνον* Ap. S. *Δήμων* P. S. *δήμου* Ap. — 12. *ἄλλως* Ap. P. S. *ἄλλοι* Ald. *τῆς θύρας τοῦ ταμιείου αὐτοῦ* Ap. *αὐτῷ τῆς τοῦ ταμιείου θύρας* P. S. — 14. *αὐτοῦ τῆς γυναικὸς* Ap. *αὐτῷ τῆς γυναικός* P. S. — 16. *στέγους* S. *τέγους* Ap. P. — 17. *τῶν* Ap. P. S.

---

115. = L. V 70 = Ap. VIII 62 (erweitert) = P. = S. (erweitert) = Ald. (erweitert) = M. II 106 (erweitert) = S. (676) p. 77. cfr. Ps. D. V 6. Mac. IV 51.

116. = Ap. VIII 63 = schol. Ar. Lys. v. 928 = S. (erweitert) = Ald. (erweitert).

117. = Ap. VIII 66 (erweitert). cfr. S., P. — Hes.

118. = Ap. VIII 68 — Plut. I 21 = Ald. = Gr. 63 — S. — Zen. VI 49 = S. (676) p. 61. B. 474. Ps. D. V 7. Mac. IV 57.

119. = Ap. VIII 70 = S. (erweitert). cfr. schol. Ar. Av. v. 71.

120. = Ap. VIII 74 = S. = P. — Zen. IV 24 = M. II 16 — L. V 2 — Ps. D. V. II 84. cfr. C. 254. Ps. D. V 5. Mac. IV 60. Ald. = Zen. + P. (im letzten Teil geändert).

121. *Θεαγένους χρήματα· ἐπὶ τῶν ἐπηρμένων πτωχῶν οὗτος ⟨γὰρ⟩ ὢν πένης ἔλεγεν ἑαυτὸν εἶναι πλούσιον.*

